*καὶ παῖδα, πρὶν σοὶ θάνατον ἐκ κείνων μολεῖν.*
*εἰ γάρ γ᾽ ὑφήσεις τοῦδ᾽, ἀπαλλάξει βίου·*
*δυοῖν γὰρ ἐχθροῖν εἰς ἓν ἐλθόντοιν στέγος,*
*ἢ θάτερον δεῖ δυστυχεῖν ἢ θάτερον.*
*ἐγὼ μὲν οὖν σοι καὶ συνεκπονεῖν θέλω,*
*καὶ συμφονεύειν παῖδ᾽ ἐπεισελθὼν δόμοις*
*οὗ δαῖθ᾽ ὁπλίζει, καὶ τροφεῖα δεσπόταις*
*ἀποδοὺς θανεῖν τε ζῶν τε φέγγος εἰσορᾶν.*
*ἓν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει,*
*τοὔνομα· τὰ δ᾽ ἄλλα πάντα τῶν ἐλευθέρων*
*οὐδεὶς κακίων δοῦλος, ὅστις ἐσθλὸς ᾖ.*

ΧΟ. *κἀγώ, φίλη δέσποινα, συμφορὰν θέλω*
*κοινουμένη τήνδ᾽ ἢ θανεῖν ἢ ζῆν καλῶς.*

ΚΡ. *ὦ ψυχά, πῶς σιγάσω;*
*πῶς δὲ σκοτίας ἀναφήνω*
*εὐνάς, αἰδοῦς δ᾽ ἀπολειφθῶ;*
*τί γὰρ ἐμπόδιον κώλυμ᾽ ἔτι μοι;*
*πρὸς τίν᾽ ἀγῶνας τιθέμεσθ᾽ ἀρετῆς;*
*οὐ πόσις ἡμῶν προδότης γέγονεν;*
*στέρομαι δ᾽ οἴκων, στέρομαι παίδων,*
*φροῦδαι δ᾽ ἐλπίδες, ἃς διαθέσθαι*
*χρῄζουσα καλῶς οὐκ ἐδυνήθην,*
*σιγῶσα γάμους,*
*σιγῶσα τόκους πολυκλαύτους.*
*ἀλλ᾽ οὐ τὸ Διὸς πολύαστρον ἕδος*
*καὶ τὴν ἐπ᾽ ἐμοῖς σκοπέλοισι θεὰν*
*λίμνης τ᾽ ἐνύδρου Τριτωνιάδος*
*πότνιαν ἀκτὰν*
*οὐκέτι κρύψω λέχος, ὡς στέρνων*
*ἀπονησαμένη ῥᾴων ἔσομαι.*
*στάζουσι κόραι δακρύοισιν ἐμαί,*
*ψυχὰ δ᾽ ἀλγεῖ κακοβουλευθεῖσ᾽*
*ἔκ τ᾽ ἀνθρώπων ἔκ τ᾽ ἀθανάτων,*

---

863. *ἀγῶνας*] Musgravius, *ἀγῶνα* libri. 867. *ἐδυνήθην*] Elmsleyus, *ἐδυνάσθην* libri. 875. *ἀπονησαμένη*] Valckenaerius, *ἀπονισαμένη* libri.